*τὰ Γύγεω*". Cf. et Herod. 1. 12. 2 *Γύγης, τοῦ καὶ Ἀρχίλοχος ὁ Πάριος κατὰ τὸν αὐτὸν χρόνον γενόμενος ἐν ἰάμβῳ τριμέτρῳ ἐπεμνήσθη*. Iuba Artigraphus ap. Rufinum, Gramm. Lat. vi. 563. 18. *Et. Gud.* / *Magn.* s.v. *τύραννος*. Schol. [Aesch.] *Prom.* 224. Argum. in Soph. *Oed. Reg.* *ἴδιον δέ τι πεπόνθασιν οἱ μεθ' Ὅμηρον ποιηταὶ τοὺς πρὸ τῶν Τρωϊκῶν βασιλεῖς τυράννους προσαγορεύοντες, ὀψέ ποτε τοῦδε τοῦ ὀνόματος εἰς τοὺς Ἕλληνας διαδοθέντος, κατὰ τοὺς Ἀρχιλόχου χρόνους, καθάπερ Ἱππίας ὁ σοφιστὴς* (6 F 6) *εἴρηκεν*.

**20** Heraclides Lembus *π. πολιτειῶν* 50 Dilts

*κλαίω τὰ Θασίων, οὐ τὰ Μαγνήτων κακά.*

Strabo 14. 1. 40 p. 647 *καὶ τὸ παλαιὸν δὲ συνέβη τοῖς Μάγνησιν ὑπὸ Τρηρῶν ἄρδην ἀναιρεθῆναι, Κιμμερικοῦ ἔθνους, εὐτυχήσαντας πολὺν χρόνον, τῷ δ' ἑξῆς ἔτει Μιλησίους κατασχεῖν τὸν τόπον. Καλλῖνος μὲν οὖν* (fr. 3) *ὡς εὐτυχούντων ἔτι τῶν Μαγνήτων μέμνηται καὶ κατορθούντων ἐν τῷ πρὸς τοὺς Ἐφεσίους πολέμῳ, Ἀρχίλοχος δὲ ἤδη φαίνεται γνωρίζων τὴν γενομένην αὐτοῖς συμφοράν, κλαίειν ⟨φάσκων τὰ⟩ Θασίων οὐ τὰ Μαγνήτων κακά. ἐξ οὗ καὶ τὸ νεώτερον εἶναι τοῦ Καλλίνου τεκμαίρεσθαι πάρεστιν*. Ath. 525c *ἀπώλοντο δὲ καὶ Μάγνητες οἱ πρὸς τῷ Μαιάνδρῳ διὰ τὸ πλέον ἀνεθῆναι, ὥς φησι Καλλῖνος ἐν τοῖς ἐλεγείοις καὶ Ἀρχίλοχος· ἑάλωσαν γὰρ ὑπὸ Ἐφεσίων*. Clem. *Strom.* 1. 131. 7-8 *Ξάνθος δὲ ὁ Λυδὸς* (765 F 30) *περὶ τὴν ὀκτωκαιδεκάτην ὀλυμπιάδα* (708/705), *ὡς δὲ Διονύσιος* (Halicarnasseus u.v., 251 F 3) *περὶ τὴν πεντεκαιδεκάτην* (720/717), *Θάσον ἐκτίσθαι, ὡς εἶναι συμφανὲς τὸν Ἀρχίλοχον μετὰ τὴν εἰκοστὴν ἤδη γνωρίζεσθαι ὀλυμπιάδα* (700/697)· *μέμνηται γοῦν καὶ τῆς Μαγνήτων ἀπωλείας προσφάτως γεγενημένης. Σιμωνίδης μὲν οὖν κατὰ Ἀρχί-*